ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ᾽ Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ᾽ ἄλλου κακοῦ οὐδενός. Ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω[118] πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων, καθάπερ οἱ ἐχιολέκται[119]. Τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. Οὕτω καὶ τοῦτον οὐκέτι οὐθὲν λυπεῖ, διὰ τὸ ἔχειν[120] τὸ ἀντιφάρμακον. — ΞΕΝ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ᾽ ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ τὰς κνήμας δὲ καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι[121]· κατέχονται δὲ ὑπὸ γυναικῶν τινων. — ΠΡ. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν[122], καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς, οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι[123] ὑπὸ τῆς Παιδείας ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ, ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ[124]. — ΞΕΝ. Αἱ δὲ γυναῖκες, αἱ μετ᾽ αὐτῶν ἀκολουθοῦσαι τίνες εἰσὶν αὗται; — ΠΡ. Λῦπαι (ἔφη), καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι. — ΞΕΝ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν. — ΠΡ. Νὴ Δία, πάντα (ἔφη) καὶ ἐπακολουθοῦσιν. Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ᾽ εὐθὺς κακῶς λέγουσι[125] καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι[126] καὶ κακοδαίμονες, οἳ[127], τὸν βίον τὸν παρ᾽ αὐτοῖς καταλιπόντες, κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ᾽ αὐτοῖς ἀγαθῶν. — ΞΕΝ. Ποῖα δὲ καὶ λέγουσιν ἀγαθὰ εἶναι; — Τὴν Ἀσωτίαν καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου[128]. Τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον[129], καὶ ἀπολαύειν, μέγιστον ἀγαθὸν ἡγοῦνται εἶναι. — ΞΕΝ. Αἱ δὲ ἐκεῖθεν παραγιγνόμεναι ἕτεραι γυναῖκες ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται; — ΠΡ. Δόξαι[130] (ἔφη)· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν, οὓς[131] τότε ἀπήγαγον. — ΞΕΝ. Πότερον οὖν (ἔφην ἐγὼ) αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται; — ΠΡ. (Ἔφη) Οὔ. Οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν αὐτούς[132]. Εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσι, καὶ ἄλλων τινῶν γεμίζονται.

ΞΕΝ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς (ἔφην) ἐξηγεῖσθαι. Ἀλλ᾽ ἐκεῖνο

---

118) Ὑπεράνω, ἀνώτερος. 119) Οἱ συλλέγοντες καὶ ἐξημεροῦντες τὰς ἐχίδνας. 120) Κ. §. 416. 121) Ὅτι ἔχουσιν ἀπηυδημένας κατασυντριμμένας τὰς κνήμας κτλ. 122) Ὅσοι διεσώθησαν καὶ ἔφθασαν εἰς τὴν παιδείαν. 123) Ἀποδοκιμασθέντες. 124) Εἰς μέρος ὅπου ὁδὸς δὲν ὑπάρχει. 125) Κακολογοῦσι. 126) Λέγουσιν ὡς εἰσὶν οἱ βαδίζοντες. 127) Οἱ βαδίζοντες οἵτινες, ἀντὶ συνδέσμου αἰτιολ. διότι. 128) Διὰ νὰ εἰπῇ τις ἐν συντόμῳ.
129) Κατὰ τὸν τρόπον τῶν βοσκημάτων, τῶν κτηνῶν. 130) Δοξασίαι. 131) Κ. §. 427.
132) Διότι τὰς δοξασίας ἡ παιδεία μόνον προάγει εἰς ἐπιστήμην.